μένης κοινῶς ἐνταῦθα καὶ τῆς ὑπάρξεως τῆς Σίνης. Συνεςράτευσαν δὲ ἐν τῇ φοβερᾷ ἐθνεπιδρομῇ τȣ̃ Μπατȣ̃, Καγȣ̃ υἱὸς τȣ̃ Οκταῆ (μέχρι τινὸς μόνον), Μπαϊδὰρ, υἱὸς τȣ̃ Τζιαγατάη, καὶ ὁ περίφημος ςρατηγὸς Σȣϊδας, ὃς ἐν τῷ ἀνατολικωτάτῳ τῆς Ασίας ἐκπολιορκήσας πόλεις, ἦλθε καὶ ἐς τὸ μέσον τῆς Ευρώπης ἐς τὴν Μοαγγυορίαν, ταὐτὰ ποιησόμενος.

## Οιοι τινές!

Τῶν δὲ κȣμάνων, οἱ μὲν ἐν τῇ Μοαγγυορίᾳ, πολλάκις ἐς χεῖρας ἐλθόντες τοῖς μοαγγυόροις, καί περ τȣ̃ βασιλέως ἐκ παντὸς τρόπȣ ποιȣ̃ντος ἐξηρτῆσθαι αὐτῷ τȣ́τȣς, καὶ γυναῖκα τῷ υἱῷ ἡγεμονίδα κȣμάναν ἁρμοσαμένȣ, τέλος ἐταπεινώθησαν, καὶ θρησκείαν καὶ ἔθιμα καὶ γλῶσσαν, ὥσπερ καὶ ἡγεμονίαν, τοῖς μοαγγυόροις ἀπέβαλον· οἱ δὲ ἐν τῇ Ρȣμȣνίᾳ κατὰ μικρὸν ἔπειτα καὶ ȣ̃τοι τὰ αὐτὰ, τοῖς ῥȣμȣ́νοις ἀναμιγέντες ἔπαθον. Ο μὲν ȣ̃ν βασιλεὺς τῶν μοαγγυόρων, τȣ̃ πάππα προσκει-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

*μένε καὶ ἀναγκάζοντος, ἐπειράθη πολλάκις ἐς τὸ λατινικὸν αὐτὲς προσαγαγεῖν δόγμα· διεπράττετο δὲ μηδὲν, ὑμὴν ὑδὲ οἱ ναζηραῖοι, ὥς φασιν, οἷς τὰ ἀπὸ Ολτε, ὡς τάχα τῶν πέραν τῆ Ολτε μοαγγυόροις ἀνηκόντων, ἄχρις ἓ ἂν δύνωνται τοῖς ὅπλοις ἐκτείνεσθαι, γελοίως ἐπιτέτραπτο, κατὰ τὸν τεσσαρακοςὸν ἕβδομον ἐνιαυτὸν τῆς δεκάτης τρίτης ἑκατονταετηρίδος· οἱ γὰρ κεμάνοι τῇ πατρῴᾳ θρησκείᾳ εἵποντο, καὶ μέχρι τῆ δεκάτε ἐνιαυτῆ τῆς δεκάτης πέμτης ἑκατονταετηρίδος, ἐσῴζοντο ἐθνικοὶ κεμάνοι ἐν Μολδόβῃ· οἵ τε ῥεμῆνοι τῷ ἀνατολικῷ καὶ ἀρχαίῳ δόγματι προσκείμενοι, μικρὰ ἐφρόντιζον τῶν ἀποσπάσαι σφᾶς τέτε πειρωμένων.*

*Ην ἐπίσκοπός τις λατῖνος, λέγεσιν, ἐν τῷ τριακοςῷ τρίτω ἐνιαυτῷ τῆς δεκάτης τετάρτης ἑκατονταετηρίδος, ᾧ καὶ οἱ τῆς μετὰ ταῦτα τῆ Μιλκόβε ἐπισκοπῆς ὑπέκειντο, ἤ τις καὶ αὐτη τελεσφορῆσαι ὐκ ἠδυνήθη, τῶν κεμάνων τῷ δόγματι τῶν ῥεμένων ἢ τῶν μωαμεθανῶν τατάρων προ-*



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΠΙΣΤΗΜΗΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σχωρέντων. Ἐπισκόπες δὲ λατίνες ἐνταῦθα ἀκέων, ἐνεςώτων ποιμνίων αὐτὲς μὴ νόμιζε, ἀλλὰ μελλόντων ἔσεσθαι. Ἔργον δὲ ἦσαν αἱ τοιαῦται ἐπισκοπαὶ δοξομανῶν ἀνθρώπων κοσμοκρατικὲς σκοπὲς ὑποτρεφόντων, καὶ τὸ ἑαυτῶν κράτος παντοίοις τρόποις καταςῆσαι, ὥσπερ καὶ τὴν ἀγαμίαν τῶν ἱερέων τὴν πολλὰ πρὸς τῦτο συντείνεσαν, ὡς ςρατιώτας πιςὲς σφίσι καὶ κακὲς πολίτας τὲς ἱερεῖς ποιῦσαν, πειρωμένων· χριςιανοὶ γὰρ ἐνταῦθα σύμπαντες οἱ ῥεμῦνοι ἐτύγχανον, καὶ ἐπισκόπες εἶχον, ἀλλὰ τὸ ἄκρατον κράτος ἐκείνων μὴ γνωρίζοντες, ὡς τῦ τῦ χριςῦ ποιμνίε μοῖρα ὀκ ἐνομίζοντο. Ὡς λύκες ὖν τὲς τοιέτες ἡγητέον, τὲς ἀλλοτρίοις ποιμνίοις ἐπιπηδῶντας, καὶ τὸν κόσμον ταραχῶν καὶ θορύβων ἐμπιπλάντας.

Τὸ ἔθνος τῶν ῥεμένων σύμπαν σχεδὸν τῷ τῶν ἀνατολικῶν δόγματι τῆς ἀρχαίας καὶ καθόλε ἐκκλησίας ἀνέκαθεν πιςῶς προσέκειτο, καὶ πρὸ τῆς κοσμολεηλασίας ἔτι

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τῶν μογγέλων τὰς ἑαυτῦ εἶχεν ἐπισκόπες καὶ ἱερεῖς· οὔτε ἐν Μπανὰτ καὶ Γύλα καὶ Ἀρδὲλ ῥϐμῦνοι, ὅπϐ τὸ κράτος εἶχον μοαγγυάραι, σχεδὸν πάντες τῦ ἀνατολικῦ καὶ καθόλϐ δόγματος ὀπαδοὶ ἐτύγχανον· καὶ οἱ ἐντὸς Καρπαθίων ῥϐμῦνοι, οἱ τὰν Ῥϐμϐνικὰν ἀγρὰν, λέγω, καὶ τὴν Μολδόβαν καὶ Βασσαραβίαν νεμόμενοι, τῆς παλαιᾶς καὶ καθόλϐ ἐκκλησίας ἐκ ἀπεσχίσθησαν, καὶ οἱ τἀναντία λέγοντες, ἀπατῶνται ἢ ψεύδονται, καὶ πιθανότητος πάσης πόῤῥω τυγχάνϐσιν· ὅ γὰρ ἐδ᾽ ἀρχὴν ἐν Ἀρδὲλ καὶ Γύλα καὶ Μπανὰτ διαπέπρακτο, σχολῆγε ἄν τις διαπεπράχθαι τῦτο ἐν τῇ μεσημβρινῇ καὶ ἑῴα Ῥϐμϐνία, εὖ συλλογιζόμενος νομίσειεν, ὅπϐ ῥϐμῦνοι αὐτονόμως ἐπολιτεύοντο. Ἀλλὰ θρησκομανεῖς τινες, μᾶλλον δὲ, δοξομανεῖς, ὡς τῷ τῆς πίςεως προσχήματι δόξαν καὶ πλῦτον καὶ δύναμιν θηρευόμενοι, ἐμεγάλυναν τὸ ἔργον αὐτῶν ἀναιδέςατα, καὶ πολλὰ ἡμῶν καταφλυαρῦντες κατεψεύσαντο. Ὥσπερ ἀμέλει, ἔςω δὲ τῦτο ἀπὸ τῶν πολλῶν ἓν παράδειγμα,

ΕΡΓΑΣΤΗΡΙΟ ... ΔΙΕΥΘΥΝΤΗΣ ... ΙΩΑΝΝΙΝΩΝ ... ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

καὶ ἐν τῷ ἑξηκοςῷ τρίτῳ ἐνιαυτῷ τῆς δεκάτης τρίτης ἑκατονταετηρίδος.

*Μοναχοί* τινες λατῖνοι ἀναιδίην ἐπιειμένοι, καὶ ὕβρει καὶ ἀσελγείᾳ πρὸς πάντας χρώμενοι, διέτριβον ἐν τῇ ἐντὸς Καρπαθίων Ῥεμενίᾳ, ἐς ἀλλότριον ἐπεσφρήσαντες ποίμνιον· καὶ οἱ ῥεμῦνσι καὶ κεμάνοι φιλοξενώτεροι καὶ ἀκακώτεροι τῦ δέοντος ὄντες, ἀνεχόμενοι, μικρὰ ἐφρόντιζον τέτων, τοῖς πατρῴοις ἑκάτεροι ἐπιμένοντες δόγμασι, καὶ περιφρονῦντες τὲς ἀποσχίσαι σφᾶς τότε βελομένες. *Ἀλλ'* οἱ ἀναιδεῖς μοναχοὶ ἐπέςειλαν τῷ πάππᾳ ὅτι τὲς ἐπισήμες τῦ ἔθνες καὶ πλῆθος τῦ λοιπῦ λαῦ ἐπιςρέψειαν, ὡς ἔλεγον, καὶ πολλὰ ἐπὶ τέτῳ προνόμια ἔλαβον. *Μετὰ* ταῦτα δὲ ὁ πάππας, τὰ ψεύσματα καὶ τὴν χαμέρπειαν καὶ τὴν ἀναίδειαν αὐτῶν, καὶ τῦ ἔργε τὴν ἐδενότητα μαθὼν, τὴν πρόσκτησιν κατάκτησιν ἀπέφηνε, καὶ τοῖς ἐπισκόποις τῆς Μοαγγυορίας ςαυροφορίαν κατὰ κεμάνων καὶ τῶν λοιπῶν κατοίκων ὑνειπεῖν ἐπέταξε, καὶ μὴ παῦσαι πρὶν ἢ σύ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝ/ΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

παντας ἐς τὸ λατινικὸν δόγμα ἐσαγαγεῖν τὰς οἰκήτορας, ὅ ἐςι ξίφει καὶ πυρὶ, ἀλλ' ὄχὶ λόγῳ προσφέρειν τῷ κόσμῳ τὸ τῦ Χριςῦ εὐαγγέλιον· καὶ ἣν ὁ Χριςὸς ἔργων λάμψιν τὰς ὀπαδὰς αὐτῦ ᾔτει, ἐς λάμψιν ὅπλων καὶ πυρῶν οἱ ὑλικοὶ ἐξέλαβον. Ἀλλὰ πείθειν μὲν τὰς ἄλλας χρηςοῖς λόγοις καὶ ἔργοις, καὶ ἀνέχεσθαι μὴ πειθομένας, Χριςῦ τὸ ἔργον, τῦ εἰρήνην καὶ ἀγάπην πνέοντος, καὶ ἀνθρώπινον· λυσσᾷν δὲ κατ' αὐτῶν μὴ πειθομένων, καὶ ἐς ὅπλα ἀπὸ λόγων μεταπηδᾷν, ἀντίχριςον, σατανικὸν καὶ μυριοβάρβαρον καὶ θηριῶδες. Ἀλλὰ γὰρ τηνικαῦτα τῦ διαδόχα ὁμιλίαις καὶ θελγήτροις τῶν εὐειδῶν κυμανίδων μᾶλλον ἢ προτροπαῖς καὶ ἀπειλαῖς τῦ πάππα προσέχοντος, ὐδὲν ἐπέπρακτο.

Ου πολλῷ δὲ μετέπειτα ἕτερός τις πάππας ἑτέραν ςαυροφορίαν τοῖς ἐν τῷ Ρυμυνικῷ ἀγρῷ καὶ τῇ Μολδόβῃ ἠπείλησεν, ἀναιδῶς πάντη καὶ ἀχρίςως, νὴ τὴν ἱερὰν ἀλήθειαν, σύμπαντας τὰς κατοίκας ἐς ἑαυτὸν βυλόμενος ἐπισπάσασθαι· ἀλλ' ἔσχε καὶ αὕτη

ΕΡΓΑΣΤΗΡΙΟ ... ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ... Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τῆς πρώτης τὸ ἀποτέλεσμα. Ἀλλὰ τό τοιῦντον εἶδος ἀνθρώπων, τὸ εἰρήνην καὶ φρονημάτων ἀνοχὴν ἀναπνέεσαν θρησκείαν, πυρὶ καὶ ξίφει συςήσασθαι τάχα πειρώμενον, ὡς κακοποιὰς δυνάμεις, ὡς ἐκ ταρτάρε ἐξερασθείσας αὐτόχρημα ἐριννύας ἡγητέον. Ἑτεροι δὲ πάλιν, μετριώτεροι, δὲ ἔτοι, γέλωτα μᾶλλον ἢ ἀγανάκτησιν διεγείροντες, ὑπὸ δεισιδαιμονίας ἰσχυρῶς πάμπαν προκατειλημμένοι, καὶ τὸ αἰσθητικὸν καὶ τὸ νοητικὸν τέγξαντες, ὕτως εἰπεῖν, τοῖς τῆς δεισιδαιμονίας χρώμασιν, ὁρῶσι καὶ νοῦσιν ἁπανταχῦ, φαντασίᾳ μᾶλλον ἢ ὄμμασι χρώμενοι. Ταύτῃ τοι παρ' αὐτοῖς καὶ λόγος πολύς τινων ὁμοφρόνων, ἐξ ἀλλοδαπῆς μετοικησάντων ἐς Ρεμενίαν, ἢ καί των δόλῳ ἐς τὸ σφέτερον συρέντων δόγμα· καὶ πολλαπλασιάζεσι τέτες ὗτοι, ὡς εἰ διὰ πολλαπλασιαζέσης ὑέλε ἔβλεπον· καί τινες ταραχοποιοὶ, ὡς ξένοις λῃςρικῶς ἐπιπηδῶντες ποιμνίοις, ὓς ἐπισκόπες ἀναρμόςως πάντη ὠνόμαζον, ἐξυμνῦντο παρ' αὐτῶν τῶν ἀθλίων καὶ ἐπήροντο, καὶ ὡς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ποιμνίων ὅλων τάχα καὶ πολυαρίθμων προεςῶτες, περιεγράφοντο· τῷ ὄντι δὲ μηδὲν ἄλλο ἢ ἀνεκτοὶ ξένοι ὄντες, ἁπλότητι τῶν κατοίκων μηδὲν ὑποπτευόμενοι, καὶ παραβλεπόμενοι, προβατόσχημοι λύκοι ὄντες ἀγνοȣμενοι· τῶν δὲ αὐτοχθόνων ῥȣμένων, πάντων σχεδὸν τῶν κατοίκων, λέγω, τῶν τῇ ἀρχαίᾳ ἐκκλησίᾳ προσκειμένων, καὶ τῶν ἐπισκόπων αὐτοῖς, μικρὸς πάμπαν, καὶ σχεδὸν ȣδεὶς αὐτοῖς λόγος, καὶ ταῦτα περὶ *Ρȣμȣνίας* γράφȣσιν. Ουτοι οἱ ἄνθρωποι ἔχȣσιν ὄμματα ἵνα τȣ̀ς ὁμόφρονας ὁρῶσι· τὸ πᾶν γὰρ αὐτοῖς ἡ λατινότης, καὶ ἡ ἀνθρωπότης ἀσήμαντος. *Αλλοδαποί* τινες μέτοικοι, ἤ τινες ἀποσπασθέντες τȣ̃ πατρῴȣ δόγματος, περιγράφονται ὡς ἔθνη ὁλόκληρα· τὸ δόγμα τῶν κατοίκων παρεβλέπετο, καὶ τό τινων ἐπηλύδων πολλȣ̃ λόγȣ παρ' αὐτοῖς ἄξιον· τὸ ἔθνος παρ' αὐτοῖς πέντε ἢ δέκα μέτοικοι ἢ πρόσφυγες ἢ ἀποςάται, καὶ ἡ ὁλότης τȣ̃ ῥȣμȣνικȣ̃ ἔθνȣς ȣδὲν ἐνομίζετο. *Ετεροι* πάλιν παραλαλȣ̃ντες πάντως· ἄλλως γὰρ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἂν ἐσιώπων αἰσχυνόμενοι· λέγεσιν ὅτι ἡ Ρεμενία πᾶσα τῷ δυτικῷ προσέκειτο δόγματι. Οια ἡμῶν οἱ ἄθλιοι κατεφλυάρησαν!

Δάσκος τις ἡγεμὼν Μολδόβης μοναχοῖς τισι λατίνοις κινέμενος, τὸ τε πάππα ἐδέξατο δόγμα, φασὶ, καὶ εὐθὺς σύμπαντες οἱ μολδοβάνοι ἀγεληδὸν ἐλατίνιζον· πάντως οἱ ταῦτα λέγοντες, σωρηδὸν καταψεύδονται. Μήποτε ἦν ἕτος ὁ Δάσκος, εἴτινος ἀληθείας ἔχεται τὰ λεγόμενα, μὴ ὢν Δραγοτζίδης, ἀλλά τις τῶν ἀρχόντων, ἡγεμονιῶν καὶ μὴ δυνάμενος ἄλλως ἐπιτυχεῖν ἐξεφίετο, πρὸς τὸν θεομανῆ βασιλέα Λεδέβικον ἐπὶ τέτῳ ἐλθὼν, καὶ ὁμοθρησκήσειν αὐτῷ θρησκομανεῖ ὄντι, ἐπαγγειλάμενος, ἕτως ἐπὶ τὴν ἡγεμονίαν, ἀλλοτρίᾳ δυνάμει, βίᾳ εἰσήχθη; Ηγεμονεύσαντο δὲ ἕτω, πιθανὸν μὲν καὶ τὲς ἡγεμονευομένες συλλατινίζειν βέλεσθαι καὶ συμπαππίζειν, καὶ τινες τῶν ἐν τέλει χαμερπεῖ ἢ ὕπελοι καὶ δόλιοι, ἀνδράποδα ἀτεχνῶ ὑπάρχοντες, συλλατινίσαι τῷ ὄντι ἢ τῷ δο-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΡΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κῦντι ἠθέλησαν, ἀλλὰ τὺς μολδοβάνυς ἀγεληδὸν ἐπὶ τὸ νέον δόγμα τρέχειν λέγειν, ψευδολογεῖν ἐςιν ἄντικρυς καὶ ἀναιδέςατα. Λάσκος, φασὶ, παρεκάλει τὸν πάππαν ὑπὸ τὴν αὐτῦ ἄμεσον ὑπεράσπισιν καὶ τὴν ἐκκλησίαν καὶ τὴν ἡγεμονίαν τῆς Μολδόβης καταδέξασθαι, (ἐκῦν ὕτως ἀνεξάρτητος ἦν ἡ ἡγεμονία τῆς Μολδόβης, καὶ τῷ ὄντι ἀρχηγεμονία)· ἀλλὰ ταῦτα πάντως πράττων ὁ Λάσκος, ὑ φίλα πάντως Λυδοβίκῳ τῷ ἐπὶ τὸν ἡγεμονικὸν θρόνον ἀλεξήσαντι ἔπραττε.

Τήρει, φίλε, ὅτι τὸ χαμερπὲς φιλοψευδὲς ἐξ ὀλιγονοίας καὶ ἀκρισίας προέρχεται· ὐ γὰρ ἂν ἄλλως οἱ τοιῦτοι ὑφ᾽ ἑαυτῶν ψευδόμενοι ἠλέγχοντο, ὐ γὰρ ἂν ἄλλως ἑαυτὺς ἐλάνθανον σφῶν αὐτῶν καταφλυαρῦντες καὶ καταψευδόμενοι. Οὐκ ὖν ᾐσχύνθησαν οἱ ἄθλιοι τοιαῦτα ἡμῶν καταψευδόμενοι. Μήποτε ταῦτα ἐπὶ τῦ πρὸ τῦ Λάσκυ βοεβόδα Στεφάνυ συνέβη; φασὶ γὰρ καὶ αὐτὸν, ἐρίδων καὶ ςάσεων αὐτῷ τε καὶ τῷ ἀδελφῷ Πέτρῳ ἀναφυεισῶν, καὶ τῦ Πέ-

ΕΡΓΑΣΤΗΡΙΟ ΙΣΤΟΡΙΑΣ ... ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τρυ ὑπερισχύσαντος, τὸ παπικὸν δόγμα δεξάμενον, τῇ τῦ θεολήπτυ βασιλέως Λυδυβίκυ συναντιλήψει, καὶ τῇ τῶν ἐν ἀγροῖς διαιτυμένων συῤῥοίᾳ, ἐπὶ τὸν ἡγεμονικὸν θρόνον ἐσβιασθῆναι. Ἀλλὰ γὰρ ὕτως ὐδὲ μίαν ἡμέραν ὑπήνεγκαν ἂν αὐτὸν οἱ καλοὶ μολδοβάνοι ἡγεμονεύειν ἀλλόθρησκον ὄντα· ὐδὲ γὰρ ἦσαν ἧττον περὶ πίςιν θερμοὶ τῶν τὺς μινορίτας, ὐ πολλῷ πρότερον, ὡς σκανδαλοποιὺς καὶ ταραχοποιὺς καὶ κοσμεπιβύλυς ξένυς, μετὰ κυμάνων, ἐκ μέσυ, καθ' ὃν ἠδυνήθησαν τρόπον, ἀράντων. Απίθανα πάντῃ καὶ πάντως ταῦτα, καὶ περιφρονήσεως μᾶλλον ἢ ἐξετάσεως καὶ πίςεως καὶ παραδόσεως ἄξια.

Ἀλλ' ἐχέτωσαν ταῦτα ὅπως ποτ' ἂν ἔχοιεν, εἰκάζειν μόνον καὶ τεκμαίρεσθαι ἐνὸν τὴν ἀλήθειαν· γυμνὴν γὰρ ὁρᾶν ὐκ ἔξι, τῶν ἀνθρώπων ὡς τὰ πολλὰ βαπτόντων τὰ πολλὰ τοῖς πάθεσιν· ὥσπερ ἀμέλει καὶ οἱ τὰ τῆς Ρυμυνίας ἀναγράψαντες θρησκομανεῖς ἢ δεισιδαίμονες λατῖνοι, οἵτινες ὐχ ὡς ἦσαν, ἀλλ' ὡς τὸ θρῆσκον αὐ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τοῖς ὑπηγόρευε, τὰ πράγματα ἐξετίθεσαν. Απίθανα δὲ πάντη καὶ ὅσα λέγȣσι περὶ τῶν λατινικῶν γραμμάτων, ὡς τάχα οἱ μολδοβάνοι αὐτοῖς τὸ πάλαι ἐχρῶντο· πιθανὸν μὲν γάρ τινα ἡγεμόνα παραφερόμενον, εἰσαγαγεῖν αὐτὰ ἐθελῆσαι καὶ ἀποπειραθῆναι ποτὲ τȣ́τȣ, καὶ τȣ̀ς μοναχȣ̀ς λατίνȣς τὰ μερικώτατα καθολικεύοντας, ὡς εἰώθεσαν, ἐκδȣ̃ναι, ὡς ἄρα οἱ μολδοβάνοι λατινικοῖς ςοιχείοις χρῷντο· ἀλλὰ γὰρ καὶ μικρὸν σκεψαμένῳ, ἀπίθανος ὁ λόγος παντάπασι, καὶ συντίθεσθαι τοῖς λεγομένοις εὐήθεια. Οι ἐν Αρδὲλ καὶ Γύλα καὶ Μπανὰτ ῥȣμȣ̃νοι, ȣ̓ μόνον οἱ τȣ̃ παλαιȣ̃ δόγματος, ἀλλὰ καὶ οἱ ȣ̓ πρὸ πολλȣ̃ ἀποσχισθῆναι τȣ́τȣ ἐκβιασθέντες, ἔτι καὶ νῦν τοῖς ἰλλυρικοῖς χρῶνται γράμμασι· πάντως καὶ ἐν τοῖς χρόνοις, καθ' ȣ̃ς φλυαρȣ̃σιν οἱ λατῖνοι τȣ̀ς μολδοβάνȣς χρῆσθαι τοῖς λατινικοῖς γράμμασιν. Ει γȣ̃ν οἱ τὰ δυτικὰ καὶ τὰ βόρεια τῆς Ρȣμȣνίας, ȣ̓κ ἔπαυσάν ποτε χρώμενοι τοῖς ἰλλυρικοῖς γράμμασι, σχολῇ γε ἂν ποιῆσαί ποτε τȣ̃το

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τοὺς ἀνεξαρτήτους νομίσαιμεν. Εἰσήχθησαν δὲ τὰ ἰλλυρικὰ γράμματα ὑπὸ Κυρίλλου καὶ Μεθοδίου ταῖς παριστρίαις ἐκκλησίαις, παρ' ὧν καὶ τὸ εὐαγγέλιον ἐκηρύχθη τοῖς σλαβικοῖς ἔθνεσι, περὶ τὸ μέσον τῆς ἐννάτης ἑκατονταετηρίδος, ὅτε τὴν τοῦ χριστοῦ πίστιν οἱ βούργαροι ἐδέξαντο, σὺν οἷς, καθόλου, καὶ οἱ ῥουμοῦνοι, ὑπήκοοι τούτοις πολλοὶ τυγχάνοντες, τὸν χριστιανισμὸν ἐνηγκαλίσαντο.

## Νογάδαι.

Μετὰ τὸ μέσον τῆς δεκάτης τρίτης ἑκατονταετηρίδος, νογάδας, μογγουλικὸν ἔθνος, ὁρῶμεν ἐν τῇ παραποντίῳ καὶ παριστρίῳ Ῥουμουνίᾳ. Νογᾶς, ἀφ' οὗ οὗτοι παρωνομάσθησαν, στρατηγὸς ἦν μογγοῦλος διὰ πολεμικὴν ἀρετὴν καὶ σύνεσιν πολιτικὴν πολυθρύλλητος, υἱωνὸς τοῦ Τζιγγησχὰν ἐκ τοῦ Χομπαῆ ἑτερομητρίου ἀδελφοῦ τῶν προειρημένων τεσσάρων. Ηδη καὶ κομιδῇ νέος ὤν, πολὺς ἦν μογγούλοις στρατηγῶν ἐν Περσίᾳ· μετέπειτα δὲ ἦλθεν ἐς τὰ βόρεια μογγουλικὰ κατακτήματα, καὶ Πόλσκαν μέχρι

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Κρακοβίε, καὶ Κράκόβιον αὐτὸ, πρωτεύουσαν πόλιν τῆς Πόλσκης, ἐλεηλάτησεν. Αποκεκλεισμένος ὢν τῆς διαδοχῆς καὶ ἀρχηγεμονιῶν ἐκτόπως, ἅπερ νόμῳ ἐςέρηται, βίᾳ ἠθέλησε κτήσασθαι. Αποςασίαν κατὰ τῶν μογγόλων τυρεύει. Συμμάχες ἐπὶ τέτῳ ζητεῖ. Βήλᾳ τῷ βαλεῖ τῶν μοαγγυόρων ἐπιςέλλει. Απειλαῖς προτρέπει κοινοπραγῆσαί οἱ σύμμαχον γενόμενον, καὶ ἐκδόντα τῷ υἱῷ αὐτε τὴν θυγατέρα, κηδεῦσαί οἱ καὶ συνδεῖσθαι ἀλλήλοις. Βήλας, ἀποτρέποντος τε πάππα προσίεσθαι, ἀποποιεῖται καὶ συμμαχίαν καὶ ἀγχιςείαν. Νογᾶς ἐπιπορεύεται τὴν Πόλσκαν πορθῶν. Κολακεύει καὶ ἐξαρτᾶται τὰ ςρατεύματα. Αποςατεῖ. Καταπολεμεῖται ὑπὸ τῶν μογγέλων. Σώζεται, ποτὲ μὲν τῇ ἀλωπεκῇ, ποτὲ δὲ τῇ λεοντῇ χρώμενος. Τῆς ἀρχῆς τῶν κεμάνων γενέσθαι βέλεται κύριος. Διαπράττεται τῦτο. Τιμωρήσασθαι θέλων τὸν Βήλαν, ἀποτυγχάνει. Διαβαίνει τὴν Μολδόβαν. Περαιῦται τὸν Ιςρον, σύμμαχον ἔχων Κωνςαντῖνον βασιλέα βερ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: Ε. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

γάρων. Απαλλάττει τὸν αἰχμάλωτον τῶν κωνςαντινεπολιτῶν, Εξεδὶν πολλά οἱ ὑποσχόμενον. Λεηλατεῖ τὰς νομὰς τῶν κωνςαντινεπολιτῶν. Αναςρέφει ἐντὸς τᾶ Ιςρε μετὰ τᾶ ἀπαλλαγέντος. Βελεύεται Μοαγγυορίας λεηλασίαν. Απείργεται ςαυροφορίᾳ τᾶ πάππα. Συμμαχεῖ τοῖς βεργάροις κατὰ τῶν κωνςαντινεπολιτῶν. Αποσπᾶται ἐξ ἐκείνων ὑπὸ τέτων δώροις, καὶ γάμῳ τῆς νόθε θυγατρὸς Ευφροσύνης τᾶ αὐτοκράτορος, τῆς χριςιανῆς ὁ μὴ χριςιανός. Στρέφει τὰ τόξα κατὰ βεργάρων. Υποτάττει τὴν Δόμπριτζαν, τὴν καὶ μικρὰν ποτὲ λεγομένην Σκυθίαν, τὴν πέραν τᾶ Ιςρε.

## Κορδοκεβᾶς.

Θριαμβεύει δὲ κατὰ τῶν νογαδῶν ὁ περίφημος ῥεμᾶνος Κορδοκεβᾶς, καὶ διώκει τέτες ἐκ τῆς Δομπρίτζης, καὶ καταναγκάζει περαιᾶσθαι τὸν Ιςρον. Ωρμῆτο δὲ ὁ Κορδοκεβᾶς ἐκ ταπεινᾶ παντάπασι γένες καὶ ἐκ ταπεινοτέρε ἔτι ἐπαγγέλματος· ἦν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γὰρ συοφόρβὸς, καὶ συοφορβὸς ἐχ ἁπλῶς, ἀλλ' ὀνομαςὸς τοῖς περὶ αὐτὸν βοσκοῖς διὰ σκαιότητα καὶ εὐήθειαν· καὶ συχνάκις ἐν τοῖς βοσχομίλοις χλεύη καὶ παίγνιον, διὰ τὴν εὐήθειαν αὐτῷ καὶ τὸ βοσκηματῶδες, ἐς διατριβὴν ἑταίρων ἐτύγχανε· καὶ ποτε ἐν συμποσίῳ, τῶν βοσκῶν ἀςειευομένων, ἔφη τις πρὸς αὐτὸν εἰρωνευόμενος, ὅτι μέγας καὶ πολὺς ἐς τὸ ἔπιὸν ἔσοιτο. Ἐκεῖνος μὲν παίζων ἐς εὐθυμίαν τῦτ' εἴρηκε· Κορδοκεβᾶς δὲ ὡς πρόῤῥησιν ὑπερανθρωπίνην τῆς μελλέσης αὐτῷ μεγάλης καταςάσεως σπεδαίως ἐξέλαβε, καὶ τὸ ἀπὸ τέτε, προκαταληφθεὶς ὑπὸ τῆς προῤῥήσεως ταύτης, τῇ ἐῇ συοφορβικῇ κεφαλῇ κάρτα ἐγκολαφθιείσης, ἔμφροντις τῆς ἐκτελέσεως γίνεται. Κακεμένης ἐν τηνικαῦτα τῆς Βεργαρίας τοῖς νογάδαις, αἴφνης ὁ Κορδοκεβᾶς, ὡς ἐν θεάτρῳ, τῷ κόσμῳ ἔνοπλος, ἔφιππος, ὡς σωτὴρ τῆς Βεργαρίας, ὡς ἔλεγε, παρίςαται. Πιςεύεσιν αὐτίκα οἱ ἀκέοντες, ὅτι τῷ ὄντι ἄνωθέν ποθεν, ἐκ κρείττονος ἢ κατὰ ἄνθρωπον μέρες, ὥςε ἡ



ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ Π. ΚΑΘΗΓΗΤΗΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐνορμῇ, καὶ τὸ πρᾶγμα δηλαδὴ ἀτεχνῶς θεοπνευςία ὑπῆρχε σωτήριος· καὶ αὐτίκα ὁ ἡγεμὼν συῶν ἐς βοσκὴν, ἡγεμὼν ἀνδρῶν ἐνθέως μαχίμων ὁρᾶται ἐς πόλεμον, καὶ νικήσας τὲς νογάδας, βασιλεὺς Βεργαρίας ἀναγορεύεται, καὶ τὴν χήραν τῦ βασιλέως τὴν ἐκ τῦ βασιλικῦ οἴκυ τῶν κωνςαντινυπολιτῶν νυμφεύεται, καὶ τῦ θηριώδες οἱ πειραθῆναι ταύτην ποιεῖν ὃ μέλλει, ἱταμότερον καὶ μέχρις ἄρσεως χειρὸς αὐτῇ προσφερόμενος. Ἀλλὰ γάρ Νεμέσεως αὐτῷ τηλικαύτην τύχην φθονησάσης, διώκεται, καὶ πρὸς Νογᾶν καταφεύγει, καὶ μετ' ἄριςον, ἐν Βασσαραβίᾳ πυ, μᾶλλον δὲ μετὰ σκυθοποσίαν, οἰνόφλυξ ἤδη καθήμενος ἐφ' ἕδρας καὶ κοιμώμενος, καὶ ῥέγχων καὶ οἰνοφλυγίαν πολλὴν ἐρευγόμενος, ἐπιταγῇ τῦ Νογᾶ, οἰνόφλυγος καὶ αὐτῦ ὄντος, τῷ πενθερῷ χαριζομένυ, φονεύεται, περὶ τὸν ἑβδομηκοςὸν ἕβδομον ἐνιαυτὸν τῆς δεκάτης τρίτης ἑκατονταετηρίδος. Ουτος ἐςὶν ὁ ὑπὸ τῶν κωνςαντινυπολιτῶν ὀνομαζόμενος Λαχανᾶς. Σκέψαι, φίλε, οἷος ὁ κό-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σμος! καὶ οἱ κορδοκαβᾶδες ὑδέποτε ἐπιλείψυσι.

Νογᾶς δὲ, μετὰ ἓξ ἐνιαυτὲς περί πυ, μετὰ Ολδαμὲρ ἡγεμόνος κυμάνυ, εἰσβάλλει ἐς Μοαγγυορίαν, ἐκτελέσαι τὴν πρὸ πολλῦ βυλευομένην κατάκτησιν τῆς χώρας βυλόμενος· ἀλλὰ μηδὲν πλέον λεηλασίας ἀνύσας, λοιμῷ καὶ λιμῷ ἐνοχλύμενος, ἐς Μολδόβαν ὑπέςρεψε. Διαλλάττεται ἔπειτα τῷ βασιλεῖ τῶν μοαγγυόρων, καὶ οἱ νογάδαι καὶ κυμάνοι, καί περ μωαμεθανοὶ καὶ ἐθνικοὶ ὄντες, πολλῶν προνομίων ἐν Μοαγγυορίᾳ ἀπήλαυον. Ου λέγω εἰδωλολάτραι· οἱ γὰρ κυμάνοι ὑδενὶ ἐχρῶντο εἰδώλῳ· ἐλάτρευον δ᾽ ἀμέσως τῷ ὑρανῷ καὶ γῆν δημιυργήσαντι. Λεηλατεῖ ἔπειτα ὁ Νογᾶς τὴν Πόλσκαν· καὶ ἐν τῷ ἐννενηκοςῷ τετάρτῳ ἐνιαυτῷ τῆς αὐτῆς ἑκατονταετηρίδος, ἡττᾶται ἐν μεγάλῃ μάχῃ ὑπὸ τῦ Τοχταγῦ υἱῦ τῦ Μαγγῦ, ὅπυ καὶ φονεύεται ἀμυνόμενος.

Οι δὲ Νογάδαι διασπείρονται εἰς πολλὰ μέρη, καὶ οἱ ἐν Μολδόβῃ καταμείναντες,



ΕΡΓΑΣΤΗΡΙΟ ... ΔΙΕΥΘΥΝΤΗΣ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006